BA εἴς τι οἴκημα, ἕως οὗ ἔδυ ὁ ἥλιος. [5]καὶ ἐπιστρέψας ἐλουσάμην καὶ 5
ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ· [6]καὶ ἐμνήσθην τῆς προφητείας 6
Αμως, καθὼς εἶπεν

Στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος
καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον

καὶ ἔκλαυσα. [7]καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐτόν. 7
[8]καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες Οὐκέτι φοβεῖται φονευθῆναι 8
περὶ τοῦ πράγματος τούτου· καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς
νεκρούς. [9]καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας καὶ ἐκοιμήθην με- 9
μιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ πρόσωπόν μου ἀκά-
λυπτον ἦν· [10]καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστίν, καὶ 10
τῶν ὀφθαλμῶν μου ἀνεῳγότων ἀφώδευσαν τὰ στρουθία θερμὸν
εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα εἰς τοὺς ὀφθαλ-
μούς μου. καὶ ἐπορεύθην πρὸς ἰατρούς, καὶ οὐκ ὠφέλησάν με·
Αχιαχαρος δὲ ἔτρεφέν με, ἕως οὗ ἐπορεύθη εἰς τὴν Ἐλυμαΐδα.

6 Am. 8 10 || 10 οφθαλμους μου $1^0 \frown 2^0$ A† | επορευθη Fr.] -θην mss.: ad επορευθην praec. adapt. | ελλυμαιδα B†

---

S καὶ εἰς ἓν τῶν οἰκιδίων ἔθηκα μέχρι τοῦ τὸν ἥλιον δύειν καὶ θάψω
αὐτόν. [5]ἐπιστρέψας οὖν ἐλουσάμην καὶ ἤσθιον τὸν ἄρτον μετὰ πέν- 5
θους· [6]καὶ ἐμνήσθην τοῦ ῥήματος τοῦ προφήτου, ὅσα ἐλάλησεν 6
Αμως ἐπὶ Βαιθηλ λέγων

Στραφήσονται ὑμῶν αἱ ἑορταὶ εἰς πένθος
καὶ πᾶσαι αἱ ᾠδαὶ ὑμῶν εἰς θρῆνος

καὶ ἔκλαυσα. [7]καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐ- 7
τόν. [8]καὶ οἱ πλησίον μου κατεγέλων λέγοντες Οὐ φοβεῖται οὐκέτι· 8
ἤδη γὰρ ἐπεζητήθη τοῦ φονευθῆναι περὶ τοῦ πράγματος τούτου
καὶ ἀπέδρα, καὶ πάλιν ἰδοὺ θάπτει τοὺς νεκρούς. [9]καὶ αὐτῇ τῇ 9
νυκτὶ ἐλουσάμην καὶ εἰσῆλθον εἰς τὴν αὐλήν μου καὶ ἐκοιμήθην
παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ πρόσωπόν μου ἀνακεκαλυμ-
μένον διὰ τὸ καῦμα· [10]καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ 10
ἐπάνω μού εἰσιν, καὶ ἐκάθισεν τὸ ἀφόδευμα αὐτῶν εἰς τοὺς
ὀφθαλμούς μου θερμὸν καὶ ἐπήγαγεν λευκώματα. καὶ ἐπορευόμην
πρὸς τοὺς ἰατροὺς θεραπευθῆναι, καὶ ὅσῳ ἐνεχρίοσάν με τὰ φάρ-
μακα, τοσούτῳ μᾶλλον ἐξετυφλοῦντο οἱ ὀφθαλμοί μου τοῖς λευ-
κώμασιν μέχρι τοῦ ἀποτυφλωθῆναι· καὶ ἤμην ἀδύνατος τοῖς ὀφθαλ-
μοῖς ἔτη τέσσαρα. καὶ πάντες οἱ ἀδελφοί μου ἐλυποῦντο περὶ
ἐμοῦ, καὶ Αχιαχαρος ἔτρεφέν με ἔτη δύο πρὸ τοῦ αὐτὸν βαδίσαι
εἰς τὴν Ἐλυμαΐδα.

6 Am. 8 10 | ωδαι Fr.] οδοι S || 8 επεζητηθην S*